# Storia della Lingua Greca – Laurea Magistrale – 7.10.2009

## 6. *H. Hom. Ap.* 140-173

αὐτὸς δ᾽ ἀργυρότοξε ἄναξ ἑκατηβόλ᾽ Ἄπολλον,
ἄλλοτε μέν τ᾽ ἐπὶ Κύνθου ἐβήσαο παιπαλόεντος,
ἄλλοτε δ᾽ ἂν νήσους τε καὶ ἀνέρας ἠλάσκαζες.
πολλοί τοι νηοί τε καὶ ἄλσεα δενδρήεντα,
πᾶσαι δὲ σκοπιαί τε φίλαι καὶ πρώονες ἄκροι
ὑψηλῶν ὀρέων, ποταμοί θ᾽ ἅλα δὲ προρέοντες·
ἀλλὰ σὺ Δήλῳ Φοῖβε μάλιστ᾽ ἐπιτέρπεαι ἦτορ,
ἔνθα τοι ἑλκεχίτωνες Ἰάονες ἠγερέθονται
αὐτοῖς σὺν παίδεσσι καὶ αἰδοίῃς ἀλόχοισιν.
οἱ δέ σε πυγμαχίῃ τε καὶ ὀρχηθμῷ καὶ ἀοιδῇ
μνησάμενοι τέρπουσιν ὅταν στήσωνται ἀγῶνα.
φαίη κ᾽ ἀθανάτους καὶ ἀγήρως ἔμμεναι αἰεὶ
ὃς τότ᾽ ἐπαντιάσει᾽ ὅτ᾽ Ἰάονες ἀθρόοι εἶεν·
πάντων γάρ κεν ἴδοιτο χάριν, τέρψαιτο δὲ θυμὸν
ἄνδρας τ᾽ εἰσορόων καλλιζώνους τε γυναῖκας
νῆάς τ᾽ ὠκείας ἠδ᾽ αὐτῶν κτήματα πολλά.
πρὸς δὲ τόδε μέγα θαῦμα, ὅου κλέος οὔποτ᾽ ὀλεῖται,
κοῦραι Δηλιάδες Ἑκατηβελέταο θεράπναι·
αἵ τ᾽ ἐπεὶ ἂρ πρῶτον μὲν Ἀπόλλων᾽ ὑμνήσωσιν,
αὖτις δ᾽ αὖ Λητώ τε καὶ Ἄρτεμιν ἰοχέαιραν,
μνησάμεναι ἀνδρῶν τε παλαιῶν ἠδὲ γυναικῶν
ὕμνον ἀείδουσιν, θέλγουσι δὲ φῦλ᾽ ἀνθρώπων.
πάντων δ᾽ ἀνθρώπων φωνὰς καὶ κρεμβαλιαστὺν
μιμεῖσθ᾽ ἴσασιν· φαίη δέ κεν αὐτὸς ἕκαστος
φθέγγεσθ᾽· οὕτω σφιν καλὴ συνάρηρεν ἀοιδή.
ἀλλ᾽ ἄγεθ᾽ ἱλήκοι μὲν Ἀπόλλων Ἀρτέμιδι ξύν,
χαίρετε δ᾽ ὑμεῖς πᾶσαι· ἐμεῖο δὲ καὶ μετόπισθε
μνήσασθ᾽, ὁππότε κέν τις ἐπιχθονίων ἀνθρώπων
ἐνθάδ᾽ ἀνείρηται ξεῖνος ταλαπείριος ἐλθών·
ὦ κοῦραι, τίς δ᾽ ὔμμιν ἀνὴρ ἥδιστος ἀοιδῶν
ἐνθάδε πωλεῖται, καὶ τέῳ τέρπεσθε μάλιστα;
ὑμεῖς δ᾽ εὖ μάλα πᾶσαι ὑποκρίνασθ᾽ ἀφήμως·
τυφλὸς ἀνήρ, οἰκεῖ δὲ Χίῳ ἔνι παιπαλοέσσῃ,
τοῦ πᾶσαι μετόπισθεν ἀριστεύουσιν ἀοιδαί.

codd. (I); **(146-150)** Thuc. III 104,4 (II); **(165-172)** Thuc. III 104,5 (III); **(169-172)** Aristid. 34,35 (IV) || **142** ἂν D’Orville : αὖ codd. || **146** ἀλλὰ σὺ I : ἀλλ’ ὅτε II | μάλιστ᾽ ἐπιτέρπεαι ἦτορ I : μάλιστά γε θυμὸν ἐτέρφθης II || **148** αὐτοῖς σὺν παίδεσσι καὶ αἰδοίῃς ἀλόχοισιν : σὺν σφοῖσιν τεκέεσσι γυναιξί τε σὴν ἐς ἀγυιάν II || **149** οἱ δέ σε I : ἔνθα σε II | ὀρχησθμῷ I : ὀρχηστυῖ II || **150** στήσωνται I : καθέσωσιν II || **156** ὅου I(**BE**) : θ’ οὗ I(**M**) : ὃ οὗ (vel sim.) I(cett.) || **157** Δηλιάδες I (**M**) : Δ- δ’ I(codd. pll.) || **162** κρεμβαλιαστὺν (fere) I(codd. pll.) : βαμβαλιαστὺν I(**ET**) || **163** μιμεῖσθ’ Barnes : -αι I || **165** ἀλλ’ ἄγεθ’ ἱλήκοι I(**L**$^5$**S**), III : ἀλλ’ ἄγε δὴ Λητὼ (fere) I(codd. pll.) || **168** ξεῖνος ταλαπείριος ἐλθών I : τ- ἄλλος ἐπελθών III || **171** ἀφήμως III(codd. vett.) : εὐ- III(codd. recc.) : ἀφ’ ἡμέων I(codd. pll.) : ἀφ’ ἡμῶν IV : ἀφ’ ὑμέων (fere) I(**ETS*p***)